Ακαδημία Αθηνών / Academy of Athens

Βογιατζίδου, Συμβ. μεσ. ἱστ. Ἠπείρ. — Κάρολος Α΄

Ἠπ. Χρ. 1, 79 — Τόκκος 15. αἰ.

---

Ἐξ ἀνεπιγράφου βυζαντινοῦ πανηγυρικοῦ μεταξὺ τῶν ἐτῶν 1427 - 1446

« Ἔστι <u>Κάρουλος</u> γένος Ἰταλός, ὀξὺς καὶ δραστήριος ἀνήρ, καὶ μέγιστα πεπονθὼς πρὸς τῶν βασιλέων εὖ καὶ τιμηθεὶς ἀξίαν οὐ τὴν τυχοῦσαν, ἀλλὰ καὶ ἐς δεσπότου φθάσας ἀξίωμα, τὴν προγονικὴν τῶν νήσων προκατάρχων ἀρχήν· νησιῶτις γάρ· ἡ δ᾽ ἐστὶν Ἰθάκη, Ζάκυνθος, Λευκὰς καὶ Κεφαλληνία· συγκατέλαβε παρὰ μικρὸν

Ακαδημία Αθηνών / Academy of Athens

τὴν ἀπ' Αἰτωλῶν μέχρι Θεσπρωτῶν καί Μολοτ-
τῶν, ἢ τῆς Ἠπείρου μέρος, οὐ ξύμπασα, ἀλλά
κε καί τῆς Ἀχαΐας τινί, ὅσον ἀπ' Ἀχελῴου
μέχρις Εὐήνου διήκει ποταμοῦ.

Πάσης δέ ἐκείνης τά μέν ἐπί θαλάσσῃ χωρία Ἕλλη-
νες ᾤκουν, τά δ' ἀνωτέρω καί πρός μεσόγαιαν
βάρβαροι καί πάλαι καί νῦν, οὓς ἐκβαλών,
τοῦτο μέν ἀπάτῃ καί πειθοῖ, τοῦτο δέ δόλῳ, ἔστι
δ' οὗ καί βίαν ἐπαγαγών, ἄρχει ξυμπάσης, ἐν ᾗ τό
παλαιόν τοσάδε διατετέμηντο τά γένη, ......"

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ